σιος ἢ ἔνδοξος ὁ ἀντιλέγων. ᾧ καὶ μάλιστα δεῖ τὰς τοιαύτας
ὑποκατακλίσεις καὶ ἀναχωρήσεις αὐτῶν ἐξελέγχειν, οὐκ ἐμπει-
ρίαις οὐδ' ἀρεταῖς οὐδ' ἡλικίαις ὑφιεμένων ἀλλὰ πλούτοις καὶ D
δόξαις. Ἀπελλῆς μὲν γὰρ ὁ ζωγράφος, Μεγαβύζου παρακαθί-
σαντος αὐτῷ καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λα-
λεῖν, 'ὁρᾷς' ἔφη 'τὰ παιδάρια ταυτὶ τὰ τρίβοντα τὴν μηλίδα;
πάνυ σοι προσεῖχε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν
ἐθαύμαζε καὶ τὰ χρυσία· νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ
μεμάθηκας ἀρξαμένου λαλεῖν.' καὶ Σόλων, Κροίσου περὶ εὐδαι-
μονίας διαπυνθανομένου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀθή-
νησι καὶ Βίτωνα καὶ Κλέοβιν ἀπέφηνεν εὐποτμοτέρους. οἱ δὲ
κόλακες τοὺς βασιλεῖς καὶ πλουσίους καὶ ἄρχοντας οὐκ ὀλβίους E
μόνον καὶ μακαρίους ἀλλὰ καὶ φρονήσει καὶ τέχνῃ καὶ ἀρετῇ
πάσῃ πρωτεύοντας ἀναγορεύουσιν.

**16.** Εἶτα τῶν μὲν Στωϊκῶν οὐδ' ἀκούειν ἔνιοι ὑπομένουσι
τὸν σοφὸν ὁμοῦ πλούσιον καλὸν εὐγενῆ βασιλέα προσαγορευ-
όντων, οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ καὶ ῥήτορα καὶ ποιη-
τήν, ἂν δὲ βούληται, καὶ ζωγράφον καὶ αὐλητὴν ἀποφαίνουσι
καὶ ποδώκη καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν καὶ
ἀπολειπόμενοι θεόντων, ὥσπερ Κρίσων ὁ Ἱμεραῖος ἀπελείφθη
διαθέων πρὸς Ἀλέξανδρον, ὁ δ' αἰσθόμενος ἠγανάκτησε. Καρ-
νεάδης δ' ἔλεγεν ὅτι πλουσίων καὶ βασιλέων παῖδες ἱππεύειν F
μόνον, ἄλλο δ' οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι· κολακεύει γὰρ
αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν καὶ ὁ προσπα-
λαίων ὑποκατακλινόμενος, ὁ δ' ἵππος, οὐκ εἰδὼς οὐδὲ φροντίζων
ὅστις ἰδιώτης ἢ ἄρχων ἢ πλούσιος ἢ πένης, ἐκτραχηλίζει τοὺς
μὴ δυναμένους ὀχεῖσθαι. | εὐήθη τοίνυν καὶ ἀβέλτερα τὰ τοῦ 59